# ΦΘΟΓΓΟΙ ΑΚΡΟΤΕΛΕΥΤΙΟΙ ΤΩ ΜΕΛΙΦΘΟΓΓΩ ῬΩΜΑΝΩ, ΤΩ ΑΚΡΩΣ ΜΕΓΑΛΥΝΑΝΤΙ ΧΟΡΟΝ ΤΩΝ ΜΕΛΟΓΡΑΦΩΝ.

Ποίημα
Ἰσιδώρας Μοναχῆς Ἁγιεροθεϊτίσσης.

Χαίροις τοῖς ἀναμέλπουσι ὦ Ῥωμανὲ θεόπνους,
χαρὰν τὴν ἀτελεύτητον δώρησαι ταῖς εὐχαῖς σου.

Κρείττονος ὡραιότητος τοῦ μετασχεῖν παράσχου,
ὁ τὴν πηγὴν τῆς καλλονῆς καὶ τῶν καλῶν φιλήσας.

Εὐφρόσυνον εἰς τράπεζαν συνδαιτυμόνας δεῖξον,
τοὺς εὐφροσύνως μέλποντας τὰς σὰς χρηστοεργίας.

Τῇ πίστει πάντας στήριξον ὁ ταύτην μεγαλύνας,
καὶ ἐν Χριστῷ στερέωσον ὁ τὸν Χριστὸν δοξάσας.

Μέλεσι δίδου ἱεροῖς Θεὸν τοῦ θεραπεύειν,
ἐν ὑμνῳδίαις θεϊκαῖς ὁ πάνυ ἀριστεύσας.

Καμάτων τῶν ὁσίων σου τιμῶ ἀνδραγαθίας,
οὓς ἐπιγράψαι καὶ ἡμᾶς ἱκέτευε τὸν Κτίστην.

Ὠδαῖς καιναῖς ἐπικροτῶ τὴν εὔσημόν σου μνήμην,
χάριν αἰτοῦσα τὴν καινήν, ἵνα σοι πόθῳ λέγω:

Χαρμονικῶς τὴν λύραν σου κίνησον μελοῤῥῆμον,
καὶ δεῦρο στῆθι μεθ’ ἡμῶν τῶν σὲ ὑμνολογούντων.

Χάριτος δίδου θεουργοῦ τὰ ζωηφόρα ῥεῖθρα,
ἵνα ζωῆς ἀληθινῆς τύχω εἰς τοὺς αἰῶνας.

Ταῦτα βοᾷ Μονάζουσα καὶ πένης Ἰσιδώρα,
ἣν εὐμενῶς ἠξίωσας ἐσχάτως σὲ ὑμνῆσαι.

Συνεκβοᾷ καὶ Ῥωμανὸς ὁ θύτης τοῦ Ὑψίστου,
ὃν τῷ Θεῷ οἰκείωσον ταῖς σαῖς ἱκετηρίαις.

Σὺν τούτοις καὶ Γεώργιος κράζει ἀπὸ καρδίας,
ὁ βίου ἐν σεμνότητι κοσμούμενος ἀξίως.

Καὶ τάξεως τῶν Ἀναγνωστῶν καὶ Θεολόγων πάνυ,
σεμνύνων τῇ πρὸς Κύριον σπουδῇ ἀνεμποδίστῳ.

Πάντας μετόχους ποίησον φωτὸς τοῦ ἀνεσπέρου,
ἵνα Τρισάγιον Θεὸν δοξάζομεν ἀπαύστως·

Πατέρα τὸν ἀγέννητον, Υἱὸν τὸν γεννηθέντα,
καὶ Πνεῦμα τὸ ἐκπορευτόν, Θεότητα τὴν μίαν.
Ἧ πρέπει δόξα καὶ τιμὴ εἰς πάντας τοὺς αἰῶνας.
Ἀμήν.

